ὥρας ἤδη τῆς ἡμέρας ἀποκλινούσης, εἶδεν ἐν τῷ οὐρανῷ στῦλον φωτὸς
σταυροειδῆ· ἐν ᾧ γράμματα ἦν λέγοντα· ἐν τούτῳ νίκα· τοῦτο φανὲν τὸ
σημεῖον, τὸν βασιλέα ἐξέπληττεν· αὐτός τε τοῖς οἰκείοις σχεδὸν ἀ-
πιστῶν ὀφθαλμοῖς, ἠρώτα καὶ τοὺς παρόντας εἰ καὶ αὐτοὶ τῆς αὐτῆς ἀ-
πολαύοιεν ὄψεως· τῶν δὲ συμφωνησάντων, ἐμερίμνα μὲν ὁ
βασιλεὺς ἐπὶ τῇ θείᾳ καὶ θαυμασίᾳ φαντασίᾳ· νυκτὸς δὲ ἐπιλαβούσης,
κατὰ τοὺς ὕπνους ὁρᾷ τὸν Χριστὸν λέγοντα αὐτῷ· κατασκευάσαι κατὰ τὸν
τύπον τοῦ ὀφθέντος σημείου· καὶ τούτῳ κατὰ τῶν πολεμίων, ὡς ἑτοίμῳ
κεχρῆσθαι τροπαίῳ· τούτῳ πεισθεὶς τῷ χρησμῷ, κατασκευάζει
μὲν τὸ σταυροειδὲς τρόπαιον, ὃ μέχρι νῦν τοῖς βασιλείοις φυλάτ-
τεται· σὺν προθυμίᾳ δὲ μείζονι πρὸς τὰς πράξεις ἐχώρει· συμβα-
λών τε αὐτῷ πρὸ τῆς Ῥώμης περὶ τὴν καλουμένην Μουλβίαν γέφυραν, νικᾷ·
Μαξεντίου εἰς τὸν ποταμὸν ἀποπνιγέντος· ἦν δὲ τοῦτο, ἕβδομον ἔτος
τῆς βασιλείας αὐτοῦ ἣν μὲν κατὰ τὴν κατὰ Μαξεντίου ἤρατο νίκην· μετὰ ταῦ-
τα Λικινίῳ τῷ συμβασιλεύοντι αὐτῷ, τοῦ καὶ γαμβροῦ αὐτοῦ τυγχάνοντος
ἐπὶ τῇ ἀδελφῇ αὐτοῦ Κωνσταντίᾳ, κατὰ τὴν ἑῴαν διάγοντος, αὐτὸς
ἀπολαύσας τῶν τηλικούτων εὐεργεσιῶν τοῦ θεοῦ, χαριστήρια τῷ εὐερ-
γέτῃ προσέφερε· ταῦτα δὲ ἦν, ἀνεῖναι τοῖς χριστιανοῖς τὸν διωγμόν·
καὶ τοὺς ἐν ἐξορίαις ὄντας ἀνακαλεῖσθαι· τοὺς δὲ ἐν δεσμωτηρίῳ ἀφί-
εσθαι· καὶ τοῖς δημευθεῖσιν αὐτῶν τὰς οὐσίας ἀποκαθίστασθαι·
τάς τε ἐκκλησίας ἀνώρθου· καὶ πάντα ἐποίει σὺν προθυμίᾳ πολλῇ·
ἐν τούτῳ καὶ Διοκλητιανὸς ὁ τὴν βασιλείαν ἀποθέμενος, ἐν Σαλῶνι τῆς
Δαλματίας ἐτελεύτα· πῶς Κωνσταντῖνος τὴν τῶν χριστιανῶν αὔξησιν
Λικίνιος ὁ συμβασιλεὺς αὐτοῦ χριστιανοὺς ἐδίωκε·

Ἀλλ᾽ ὁ μὲν Κωνσταντῖνος μὲν ὁ βασιλεὺς τὰ τοῦ Χριστοῦ φρονῶν παρ᾽ ἑαυτῷ, ὡς
χριστιανὸς ἀνεγείρων τὰς ἐκκλησίας, καὶ πολυτελέσι τιμῶν ἀνα-
θήμασιν, ἔτι δὲ καὶ τοὺς ἑλληνικοὺς ναοὺς κλείων καὶ καθαιρῶν καὶ δημο-
σιεύων τὰ ἐν αὐτοῖς ἀγάλματα· Λικίνιος δὲ ὁ συμβασιλεύων αὐτῷ τὰς
ἑλληνικὰς ἔχων δόξας, ἐμίσει χριστιανούς· καὶ διωγμὸν μὲν προφανῆ
φόβῳ τοῦ βασιλέως Κωνσταντίνου, κινεῖν ὑπεστέλλετο· λεληθότως δὲ
πολλοὺς ἐσκαιωρεῖτο· προϊὼν δὲ καὶ φανερῶς αὐτοῖς ἐπιβουλεύειν ἐπεχείρει·
καὶ γίνεται οὕτως ὁ διωγμὸς τοπικός· ἐν θατέρᾳ ἦν Λικίνιος, ἐκεῖ μόνον
ἐγένετο· ἐπεὶ δὲ ταῦτά τε καὶ ἄλλα τυραννικῶς ποιῶν, οὐδαμῶς Κων-
σταντῖνον ἐλάνθανεν, ἔγνω τε ἐπὶ τούτοις χαλεπαίνοντα τὸν, πρὸς ἀπολογί-

http://digital.slub-dresden.de/ppn334880238/229